Σ. β'. Κ. ιδ'.

Ὅταν θεοῦ μοῖρα πέμπῃ
Ἀνεκὰς ὄλβον ὑψηλόν.
Ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπα-
θον αἳ μεγάλα. πένθος
Δὲ πιτνεῖ βαρὺ
Κρεσσόνων πρὸς ἀγαθῶν.
Ζώει μὲν ἐν Ὀλυμπίοις,
Ἀποθανοῖσα βρόμῳ
Κεραυνοῦ, τανύεθει-
ρα Σεμέλα· φιλεῖ
Δέ μιν Παλλὰς αἰεὶ,
Καὶ Ζεὺς πατὴρ μάλα· φιλεῖ
Δὲ παῖς ὁ κισσοφόρος.

Α. β'. Κ. ιδ'.

Λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
Μετὰ κόραισι Νηρῆος
Ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅ-
λον ἀμφὶ χρόνον. Ἦτοι
Βροτῶν κέκριται
Πεῖρας οὔ τι θανάτου,
Οὐδ', ἁσύχιμον Ἁμέραν
Ὁπότε, παῖδ' Ἁλίου,

Ἀτειρεῖ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/ppn334032571/25 gefördert von der Deutschen Forschungsgemeinschaft